ὑπερχοῦνται οἱ κακοὶ λογισμοὶ πονηροί· οἷς ὁ μὴ
ἀποταξάμενος, οὐ μαθητεύσει τῇ γνώσει:
Χριστοῦ ὁ ἀληθὴς ἑαυτὸν φωτίζει· καὶ ὁ μιμούμενος
αὐτόν, ἑαυτὸν διορθοῦται: Ἡ μνησικακία,
λέπρα ἐστὶ ψυχῆς· συμβαίνει δὲ αὐτῇ· ἀπὸ ἀπει-
λῆς, ἢ ζημίας, ἢ λογισμῶν ὑπονοιῶν: Νόσος φθονερῶν,
εὐτυφλοί εἰσιν· ὁ λυπούμενος ἐπὶ τοῖς
ἀγαθοῖς τοῦ πλησίον: Κατάλαλος ψυχή· τρίβολ[ον]
ἔχει γλῶσσαν· ἑαυτὴν γὰρ καὶ τοὺς ἀκούοντας, ἑαυτό[ν]
τε καὶ τοὺς καταλαλουμένους μεγάλως βλάπτει: Ὁ μνησίκακος
ἐπὶ προσευχόμενος ὑπὲρ λυπήσαντος· καὶ ἀ-
παλλάσσεται μνησικακίας, ὁ μὴ φειδόμενος ὕλης:
Θάνατος ψυχῆς· μῖσος πρὸς τὸν πλησίον· τοῦτο ν
γὰρ ἔχει καὶ πεπλήρωται ἡ τοῦ καταλάλου ψυχή:
Ἀκηδία ἐστίν, ὀλιγορεῖ ψυχῆς· ὀλιγορεῖ δὲ ψυχὴ φι-
ληδονίαν νοσοῦσα: Ἴνδαλμα πόνων, γυμνάζεται
πόνοις· κουφίζει δὲ πάντα, ἀπελαύνει ἀκηδίαν:
Ὁ κρατῶν γαστρός, μαραίνει ἐπιθυμίας· καὶ λογισ-
μοῖς πονηροῖς, οὐ δουλεύει ὁ νοῦς αὐτοῦ:
Νοῦς ἐγκρατείας, ναὸς ἁγίου πνεύματος· ὁ δὲ τοῦ